CAMBRIDGE

Cambridge University Press
978-0-521-11809-5 - The Persae of Aeschylus
Edited by H. D. Broadhead
Excerpt
More information

# ΠΕΡΣΑΙ



© Cambridge University Press www.cambridge.org

CAMBRIDGE

Cambridge University Press
978-0-521-11809-5 - The Persae of Aeschylus
Edited by H. D. Broadhead
Excerpt
More information

## ΥΠΟΘΕΣΙΣ

Γλαῦκος ἐν τοῖς περὶ Αἰσχύλου μύθων ἐκ τῶν Φοινισσῶν Φρυνίχου φησὶ τοὺς Πέρσας παραπεποιῆσθαι. ἐκτίθησι δὲ καὶ τὴν ἀρχὴν τοῦ δράματος ταύτην,

Τάδ' ἐστὶ Περσῶν τῶν πάλαι βεβηκότων.

πλὴν ἐκεῖ εὐνοῦχός ἐστιν ἀγγέλλων ἐν ἀρχῇ τὴν Ξέρξου ἧτταν, στορνύς τε θρόνους τινὰς τοῖς τῆς ἀρχῆς παρέδροις· ἐνταῦθα δὲ προλογίζει χορὸς πρεσβυτῶν. καὶ ἔστιν ἡ μὲν σκηνὴ τοῦ δράματος παρὰ τῷ τάφῳ Δαρείου· ἡ δὲ ὑπόθεσις, Ξέρξης στρατευσάμενος κατὰ Ἑλλάδος· μετὰ δυνάμεως πολλῆς, ἵππον μὲν ἄμετρον ἐπαγόμενος, ναῦς δὲ χιλίας διακοσίας ἑπτά, ἢ καὶ δεκατέσσαρας· καὶ πεζῇ μὲν ἐν Πλαταιαῖς νικηθείς, ναυτικῇ δὲ ἐν Σαλαμῖνι, καὶ διὰ Θεσσαλίας φεύγων διεπεραιώθη εἰς τὴν Ἀσίαν.

Ἐπὶ Μένωνος τραγῳδῶν Αἰσχύλος ἐνίκα Φινεῖ, Πέρσαις, Γλαύκῳ Ποτνιεῖ, Προμηθεῖ.

Πρώτη ἔφοδος Περσῶν ἐπὶ Δαρείου ἐδυστύχησε περὶ Μαραθῶνα, δευτέρα Ξέρξου περὶ Σαλαμῖνα καὶ Πλαταιάς.

### Τὰ τοῦ δράματος πρόσωπα·

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ

ΑΤΟΣΣΑ

ΑΓΓΕΛΟΣ

ΕΙΔΩΛΟΝ ΔΑΡΕΙΟΥ

ΞΕΡΞΗΣ

**1** uel ἐν τῇ  **7** post πρεσβυτῶν leguntur haec in M: τῶν δὲ χορῶν τὰ μέν ἐστι παροδικά, ὅτε λέγει δι' ἣν αἰτίαν πάρεστιν, ὡς τὸ Τύριον οἶδμα λιποῦσαι [*Phoeniss.* 202], τὰ δὲ στάσιμα, ὅτε ἵσταται καὶ ἄρχεται τῆς συμφορᾶς τοῦ δράματος, τὰ δὲ κομματικά, ὅτε λοιπὸν ἐν θρήνῳ γίνεται: manifeste intrusa secl. Blomf.  **8–10** μετὰ...δεκατέσσαρας om. M  **13** Ποτνιεῖ PVR: om. cett.

Dramatis personae] Ἄτοσσα: appellatam ab Aeschylo βασίλειαν ueri simile esse putat Koechly  in M nullus personarum index.

Fasti theatri Atheniensis sub Menone (472 A.C.) τραγῳδῶν Περικλῆς Χολαρ. ἐχορή. Αἰσχύλος ἐδίδασκε.



© Cambridge University Press www.cambridge.org

CAMBRIDGE

Cambridge University Press
978-0-521-11809-5 - The Persae of Aeschylus
Edited by H. D. Broadhead
Excerpt
More information

# ΠΕΡΣΑΙ

ΧΟΡΟΣ

Τάδε μὲν Περσῶν τῶν οἰχομένων
Ἑλλάδ' ἐς αἶαν πιστὰ καλεῖται,
καὶ τῶν ἀφνεῶν καὶ πολυχρύσων
ἑδράνων φύλακες, κατὰ πρεσβείαν
οὓς αὐτὸς ἄναξ Ξέρξης βασιλεὺς
Δαρειογενὴς
εἵλετο χώρας ἐφορεύειν.
ἀμφὶ δὲ νόστῳ τῷ βασιλείῳ
καὶ πολυχρύσου στρατιᾶς ἤδη
κακόμαντις ἄγαν ὀρσολοπεῖται
θυμὸς ἔσωθεν.
πᾶσα γὰρ ἰσχὺς Ἀσιατογενὴς
οἴχωκε, †νέον δ' ἄνδρα βαΰζει†,
κοὔτε τις ἄγγελος οὔτε τις ἱππεὺς
ἄστυ τὸ Περσῶν ἀφικνεῖται·
οἵτε τὸ Σούσων ἠδ' Ἀγβατάνων
καὶ τὸ παλαιὸν Κίσσιον ἕρκος
προλιπόντες ἔβαν, *τοὶ μὲν ἐφ' ἵππων,
*τοὶ δ' ἐπὶ ναῶν, πεζοί τε βάδην
πολέμου στῖφος παρέχοντες·
οἷος Ἀμίστρης ἠδ' Ἀρταφρένης
καὶ Μεγαβάτης ἠδ' Ἀστάσπης,
ταγοὶ Περσῶν,
βασιλῆς βασιλέως ὕποχοι μεγάλου,
σοῦνται, στρατιᾶς πολλῆς ἔφοροι,
τοξοδάμαντές τ' ἠδ' ἱπποβάται,
φοβεροὶ μὲν ἰδεῖν, δεινοὶ δὲ μάχην
ψυχῆς εὐτλήμονι δόξῃ·
Ἀρτεμβάρης θ' ἱππιοχάρμης
καὶ Μασίστης, ὅ τε τοξοδάμας

**6** post Δαρειογενὴς glossam Δαρείου υἱὸς in textu habent MΦ **10** ὀρσολοπεῖται M Hesych.: ὀρσοπολεῖται cett. **16** Ἐκβατάνων: corr. Brunck **18** οἱ μὲν...οἱ δὲ: corr. Blomfield **19** νηῶν MΦ **22** μεταβάτης MΦ **28** ἐν τλήμονι MΦ: corr. Byz. δόξῃ suspectum: fort. μάχῃ ψυχὴν εὐτλήμονα θῆξαι (μάχῃ ψυχὴν εὐτλήμονα δεῖξαι coniecerat A. Y. Campbell)



© Cambridge University Press www.cambridge.org

CAMBRIDGE

Cambridge University Press
978-0-521-11809-5 - The Persae of Aeschylus
Edited by H. D. Broadhead
Excerpt
More information



ἐσθλὸς Ἰμαῖος, Φαρανδάκης θ',
ἵππων τ' ἐλατὴρ Σοσθάνης.
ἄλλους δ' ὁ μέγας καὶ πολυθρέμμων
Νεῖλος ἔπεμψεν· Σουσισκάνης,
Πηγασταγὼν Αἰγυπτογενής,
ὅ τε τῆς ἱερᾶς Μέμφιδος ἄρχων
μέγας Ἀρσάμης, τάς τ' ὠγυγίους
Θήβας ἐφέπων Ἀριόμαρδος,
καὶ ἑλειοβάται ναῶν ἐρέται
δεινοὶ πλῆθός τ' ἀνάριθμοι.
ἁβροδιαίτων δ' ἕπεται Λυδῶν
ὄχλος, οἵτ' ἐπίπαν ἠπειρογενὲς
κατέχουσιν ἔθνος, τοὺς Μιτρογαθὴς
Ἀρκτεύς τ' ἀγαθός, βασιλῆς δίοποι,
*χαὶ πολύχρυσοι Σάρδεις ἐπόχους
πολλοῖς ἅρμασιν ἐξορμῶσιν,
δίρρυμά τε καὶ τρίρρυμα τέλη,
  φοβερὰν ὄψιν προσιδέσθαι.
στεῦται δ' ἱεροῦ Τμώλου πελάται
ζυγὸν ἀμφιβαλεῖν δούλιον Ἑλλάδι,
Μάρδων, Θάρυβις, λόγχης ἄκμονες,
καὶ ἀκοντισταὶ Μυσοί· Βαβυλὼν δ'
ἡ πολύχρυσος πάμμικτον ὄχλον
πέμπει σύρδην, ναῶν τ' ἐπόχους
καὶ τοξουλκῷ λήματι πιστούς·
τὸ μαχαιροφόρον τ' ἔθνος ἐκ πάσης
Ἀσίας ἕπεται
  δειναῖς βασιλέως ὑπὸ πομπαῖς.
τοιόνδ' ἄνθος Περσίδος αἴας
οἴχεται ἀνδρῶν,
οὓς πέρι πᾶσα χθὼν Ἀσιᾶτις
θρέψασα πόθῳ στένεται μαλερῷ,
τοκέες τ' ἄλοχοί θ' ἡμερολεγδὸν
τείνοντα χρόνον τρομέονται.

πεπέρακεν μὲν ὁ περσέπτολις ἤδη [στρ. α'
βασίλειος στρατὸς εἰς ἀντ-
ίπορον γείτονα χώραν,

**44** βασιλῆς MQ: βασιλεῖς Φ et schol.: στεῦνται M² cett. **45** καὶ: corr. Blomf. πελάτης Weil **49** στεῦται M¹ **63** τοκέης Wilamowitz



© Cambridge University Press www.cambridge.org

CAMBRIDGE

Cambridge University Press
978-0-521-11809-5 - The Persae of Aeschylus
Edited by H. D. Broadhead
Excerpt
More information



λινοδέσμῳ σχεδίᾳ πορθμὸν ἀμείψας
Ἀθαμαντίδος Ἕλλας,
πολύγομφον ὅδισμα
ζυγὸν ἀμφιβαλὼν αὐχένι πόντου.

πολυάνδρου δ' Ἀσίας θούριος ἄρχων [ἀντ. α'
ἐπὶ πᾶσαν χθόνα ποιμαν-
όριον θεῖον ἐλαύνει
διχόθεν, *πεζονόμος τ' ἔκ τε θαλάσσας,
ἐχυροῖσι πεποιθὼς
στυφελοῖς ἐφέταις, χρυσ-
ογόνου γενεᾶς ἰσόθεος φώς.

κυάνεον δ' ὄμμασι λεύσσων [στρ. β'
φονίου δέργμα δράκοντος,
πολύχειρ καὶ πολυναύτας,
Σύριόν θ' ἅρμα διώκων,
ἐπάγει δουρικλύτοις ἀνδρ-
άσι τοξόδαμνον Ἄρη.

δόκιμος δ' οὔτις ὑποστὰς [ἀντ. β'
μεγάλῳ ῥεύματι φωτῶν
ἐχυροῖς ἕρκεσιν εἴργειν
ἄμαχον κῦμα θαλάσσας·
ἀπρόσοιστος γὰρ ὁ Περσᾶν
στρατὸς ἀλκίφρων τε λαός.

θεόθεν γὰρ κατὰ μοῖρ' [στρ. γ'
ἐκράτησεν τὸ παλαι-
όν, ἐπέσκηψε δὲ Πέρσαις
πολέμους πυργοδαΐκτους
διέπειν ἱππιοχάρμας τε κλόνους
πόλεών τ' ἀναστάσεις.

ἔμαθον δ' εὐρυπόροι- [ἀντ. γ'
ο θαλάσσας πολιαιν-
ομένας πνεύματι λάβρῳ

**71** ἔρεισμα M γρ. **76** πεζονόμοις ἐκ: correxi (πεζονόμον τ' Stadtmueller) **78** ἐχυροῖσι M: ὀχυροῖσι Φ (ut in 89) **79–80** χρυσονόμου: χρυσογόνου *v.l.* in schol. MΦ **81** κυανοῦν Blomf. **93–105** traiecit O. Müller **98** πόλεων δ' MΦ: πόλεών τ' Byz. **101** θαλάσσης MΦ πολιαινομένης M¹V (talia posthac omittuntur)



© Cambridge University Press www.cambridge.org

CAMBRIDGE

Cambridge University Press
978-0-521-11809-5 - The Persae of Aeschylus
Edited by H. D. Broadhead
Excerpt
More information



ἐσορᾶν πόντιον ἄλσος,
πίσυνοι λεπτοδόμοις πείσμασι λα-
οπόροις τε μαχαναῖς.

δολόμητιν δ᾽ ἀπάταν θεοῦ [στρ. δ᾽
τίς ἀνὴρ θνατὸς ἀλύξει;
τίς ὁ κραιπνῷ ποδὶ πηδήμ-
ατος εὐπετέος ἀνάσσων;

φιλόφρων γὰρ *παρασαίνει [ἀντ. δ᾽
βροτὸν εἰς *ἄρκυας ἄτα*,
τόθεν οὐκ ἔστιν ἀλύξαντ-
α φυγεῖν *ὕπερθ᾽ ἄνατον*.

ταῦτά μοι μελαγχίτων [στρ. ε᾽
φρὴν ἀμύσσεται φόβῳ,
ὀᾶ Περσικοῦ στρατεύματος,
*τοῦτο μὴ πόλις πύθητ-
αι κένανδρον μέγ᾽ ἄστυ Σουσίδος·

καὶ τὸ Κισσίων πόλισμ᾽ [ἀντ. ε᾽
ἀντίδουπον *ᾄσεται,
ὀᾶ, τοῦτ᾽ ἔπος γυναικοπληθ-
ὴς ὅμιλος ἀπύων,
βυσσίνοις δ᾽ ἐν πέπλοις πέσῃ λακίς.

πᾶς γὰρ ἱππηλάτας [στρ. ϛ᾽
καὶ πεδοστιβὴς λεὼς
σμῆνος ὣς ἐκλέλοιπεν μελισσ-
ᾶν σὺν ὀρχάμῳ στρατοῦ,
τὸν ἀμφίζευκτον ἐξαμείψας
ἀμφοτέρας ἅλιον
πρῶνα κοινὸν αἴας.

**105** λεπτολίνοις D. L. Page **109–10** εὐπετοῦς Porson, πηδήματος autem et ἀνάσσων ualde dubia: fort. δηλήματος ἀπᾴσσων Stahl, qui εὐπετής, uix recte, scribit (an εὐπιθοῦς?); errant qui ἀνᾴσσων scribunt **111** σαίνουσα τὸ πρῶτον παράγει: παρασαίνει Seidler **112** ἀρκύστατα: corr. Herm. **113–14** τόθεν οὐκ ἔστιν ὑπὲρ θνατὸν ἀλύξαντα φυγεῖν: traiecit Seidler, qui in fine strophae ὕπερθε θνατόν scribit: ὕπερθ᾽ ἄνατον scripsi (θάνατον R: ὑπερθέν νιν ἄνατον ἐξαλύξαι Wecklein) **115** μου MQ **118** τοῦδε: corr. Schütz **121** ἔσεται (i.e. ᾄσεται?) M: ἔσεται uel ἔσσεται cett. **128** μελισσῶν (uel -σάων, -σᾶν): μέλισσα M



© Cambridge University Press www.cambridge.org

CAMBRIDGE

Cambridge University Press
978-0-521-11809-5 - The Persae of Aeschylus
Edited by H. D. Broadhead
Excerpt
More information



λέκτρα δ' ἀνδρῶν πόθῳ [ἀντ. ζ'
πίμπλαται δακρύμασιν·
Περσίδες δ' *ἁβροπενθεῖς ἑκάστ-
α πόθῳ φιλάνορι
τὸν αἰχμάεντα θοῦρον εὐνατ-
ῆρ' ἀποπεμψαμένα
λείπεται μονόζυξ.

—ἀλλ' ἄγε, Πέρσαι, τόδ' ἐνεζόμενοι
στέγος ἀρχαῖον,
φροντίδα κεδνὴν καὶ βαθύβουλον
  θώμεθα, χρεία δὲ προσήκει,
πῶς ἄρα πράσσει Ξέρξης βασιλεὺς
Δαρειογενής,
[τὸ πατρωνύμιον γένος ἡμέτερον·]
πότερον τόξου ῥῦμα τὸ νικῶν,
ἢ δορικράνου
  λόγχης ἰσχὺς κεκράτηκεν.

—ἀλλ' ἥδε θεῶν ἴσον ὀφθαλμοῖς
φάος ὁρμᾶται μήτηρ βασιλέως,
  βασίλεια δ' ἐμή· προσπίτνω·
καὶ προσφθόγγοις δὲ χρεὼν αὐτὴν
  πάντας μύθοισι προσαυδᾶν.

—ὦ βαθυζώνων ἄνασσα Περσίδων ὑπερτάτη,
μῆτερ ἡ Ξέρξου γεραιά, χαῖρε, Δαρείου γύναι·
θεοῦ μὲν εὐνάτειρα Περσῶν, θεοῦ δὲ καὶ μήτηρ ἔφυς,
εἴ τι μὴ δαίμων παλαιὸς νῦν μεθέστηκε στρατῷ.

ΑΤΟΣΣΑ

ταῦτα δὴ λιποῦσ' ἱκάνω χρυσεοστόλμους δόμους
καὶ τὸ Δαρείου τε κἀμὸν κοινὸν εὐνατήριον.
καί με καρδίαν ἀμύσσει φροντίς· ἐς δ' ὑμᾶς ἐρῶ
μῦθον, οὐδαμῶς ἐμαυτῆς οὖσ' ἀδείμαντος, φίλοι,
μὴ μέγας πλοῦτος κονίσας οὖδας ἀντρέψῃ ποδὶ

**135** ἀκροπενθεῖς: ἁβροπενθεῖς e schol. Paley **138** προπεμψαμένα Q[1]Tr. (probat Wil.) **141** στέος MA **146** ἁμέτερον: uersum pro glossis habent Butler, D. S. Robertson **148** δορυκράνου: δορικράνου PVF **158** στρατοῦ Q **159** ΒΑΣΙΛΕΙΑ Koechly **161** κἀμὲ Bothe **163** κονίσας οὖδας suspectum: fort. κενώσας Σουσίδ'



© Cambridge University Press www.cambridge.org

CAMBRIDGE

Cambridge University Press
978-0-521-11809-5 - The Persae of Aeschylus
Edited by H. D. Broadhead
Excerpt
More information



ὄλβον, ὃν Δαρεῖος ἦρεν οὐκ ἄνευ θεῶν τινός.
ταῦτά μοι διπλῆ μέριμν᾿ ἄφραστός ἐστιν ἐν φρεσίν,
μήτε χρημάτων ἀνάνδρων πλῆθος ἐν τιμῇ σέβειν
μήτ᾿ ἀχρημάτοισι λάμπειν φῶς ὅσον σθένος πάρα.
ἔστι γὰρ πλοῦτός γ᾿ ἀμεμφής, ἀμφὶ δ᾿ ὀφθαλμῷ φόβος·
ὄμμα γὰρ δόμων νομίζω δεσπότου παρουσίαν.
πρὸς τάδ᾿ ὡς οὕτως ἐχόντων τῶνδε, σύμβουλοι λόγου
τοῦδέ μοι γένεσθε, Πέρσαι, γηραλέα πιστώματα·
πάντα γὰρ τὰ κέδν᾿ ἐν ὑμῖν ἐστί μοι βουλεύματα.
Χο. εὖ τόδ᾿ ἴσθι, γῆς ἄνασσα τῆσδε, μή σε δὶς *φράσειν
μήτ᾿ ἔπος μήτ᾿ ἔργον ὧν ἂν δύναμις ἡγεῖσθαι θέλῃ·
εὐμενεῖς γὰρ ὄντας ἡμᾶς τῶνδε συμβούλους καλεῖς.

Ατ. πολλοῖς μὲν αἰεὶ νυκτέροις ὀνείρασιν
ξύνειμ᾿, ἀφ᾿ οὗπερ παῖς ἐμὸς στείλας στρατὸν
᾿Ιαόνων γῆν οἴχεται πέρσαι θέλων·
ἀλλ᾿ οὔτι πω τοιόνδ᾿ ἐναργὲς εἰδόμην
ὡς τῆς πάροιθεν εὐφρόνης· λέξω δέ σοι.
ἐδοξάτην μοι δύο γυναῖκ᾿ εὐείμονε,
ἡ μὲν πέπλοισι Περσικοῖς ἠσκημένη,
ἡ δ᾿ αὖτε Δωρικοῖσιν, εἰς ὄψιν μολεῖν,
μεγέθει τε τῶν νῦν ἐκπρεπεστάτα πολύ,
κάλλει τ᾿ ἀμώμω, καὶ κασιγνήτα γένους
ταὐτοῦ· πάτραν δ᾿ ἔναιον ἡ μὲν Ἑλλάδα
κλήρῳ λαχοῦσα γαῖαν, ἡ δὲ βάρβαρον.
τούτω στάσιν τιν᾿, ὡς ἐγὼ ᾿δόκουν ὁρᾶν,
τεύχειν ἐν ἀλλήλαισι· παῖς δ᾿ ἐμὸς μαθὼν
κατεῖχε κἀπράυνεν, ἅρμασιν δ᾿ ὕπο
ζεύγνυσιν αὐτὼ καὶ λέπαδν᾿ ὑπ᾿ αὐχένων
τίθησι. χἠ μὲν τῇδ᾿ ἐπυργοῦτο στολῇ
ἐν ἡνίαισί τ᾿ εἶχεν εὔαρκτον στόμα,
ἡ δ᾿ ἐσφάδᾳζε, καὶ χεροῖν ἔντη δίφρου
διασπαράσσει, καὶ ξυναρπάζει βίᾳ
ἄνευ χαλινῶν καὶ ζυγὸν θραύει μέσον.
πίπτει δ᾿ ἐμὸς παῖς, καὶ πατὴρ παρίσταται
Δαρεῖος οἰκτείρων σφε· τὸν δ᾿ ὅπως ὁρᾷ
Ξέρξης, πέπλους ῥήγνυσιν ἀμφὶ σώματι.
καὶ ταῦτα μὲν δὴ νυκτὸς εἰσιδεῖν λέγω.

**168** ὀφθαλμοῖς: ὀφθαλμῷ e schol. Heimsoeth **173** φράσαι: corr. Elmsley **191** ἐπ᾿: ὑπ᾿ M **193** ἡνίαισιν MHTr., ἡνίαισι δ᾿ cett.: corr. Blomf. **196** fort. ἄνω χαλινὸν (ἄνους χαλινὸν Kock)



© Cambridge University Press www.cambridge.org

CAMBRIDGE

Cambridge University Press
978-0-521-11809-5 - The Persae of Aeschylus
Edited by H. D. Broadhead
Excerpt
More information



ἐπεὶ δ' ἀνέστην καὶ χεροῖν καλλιρρόου
ἔψαυσα πηγῆς, σὺν θυηπόλῳ χερὶ
βωμὸν προσέστην, ἀποτρόποισι δαίμοσιν
θέλουσα θῦσαι πελανόν, ὧν τέλη τάδε.
ὁρῶ δὲ φεύγοντ' αἰετὸν πρὸς ἐσχάραν
Φοίβου· φόβῳ δ' ἄφθογγος ἐστάθην, φίλοι.
μεθύστερον δὲ κίρκον εἰσορῶ δρόμῳ
πτεροῖς ἐφορμαίνοντα καὶ χηλαῖς κάρα
τίλλονθ'· ὁ δ' οὐδὲν ἄλλο γ' ἢ πτήξας δέμας
παρεῖχε. ταῦτ' ἔμοιγε δείματ' ἔστ' ἰδεῖν,
ὑμῖν δ' ἀκούειν. εὖ γὰρ ἴστε, παῖς ἐμὸς
πράξας μὲν εὖ θαυμαστὸς ἂν γένοιτ' ἀνήρ,
κακῶς δὲ πράξας—οὐχ ὑπεύθυνος πόλει,
σωθεὶς δ' ὁμοίως τῆσδε κοιρανεῖ χθονός.
Χο. οὔ σε βουλόμεσθα, μῆτερ, οὔτ' ἄγαν φοβεῖν λόγοις
οὔτε θαρσύνειν. θεοὺς δὲ προστροπαῖς ἱκνουμένη,
εἴ τι φλαῦρον εἶδες, αἰτοῦ τῶνδ' ἀποτροπὴν τελεῖν,
τὰ δ' ἀγάθ' ἐκτελῆ γενέσθαι σοί τε καὶ τέκνοις σέθεν
καὶ πόλει φίλοις τε πᾶσι. δεύτερον δὲ χρὴ χοὰς
γῇ τε καὶ φθιτοῖς χέασθαι· πρευμενῶς δ' αἰτοῦ τάδε,
σὸν πόσιν Δαρεῖον, ὅνπερ φῂς ἰδεῖν κατ' εὐφρόνην,
ἐσθλά σοι πέμπειν τέκνῳ τε γῆς ἔνερθεν ἐς φάος,
τἄμπαλιν δὲ τῶνδε γαίᾳ κάτοχ' ἀμαυροῦσθαι σκότῳ.
ταῦτα θυμόμαντις ὢν σοὶ πρευμενῶς παρῄνεσα·
εὖ δὲ πανταχῇ τελεῖν σοι τῶνδε κρίνομεν πέρι.
Ατ. ἀλλὰ μὴν εὔνους γ' ὁ πρῶτος τῶνδ' ἐνυπνίων κριτὴς
παιδὶ καὶ δόμοις ἐμοῖσι τήνδ' ἐκύρωσας φάτιν.
ἐκτελοῖτο δὴ τὰ χρηστά· ταῦτα δ', ὡς ἐφίεσαι,
πάντα θήσομεν θεοῖσι τοῖς τ' ἔνερθε γῆς φίλοις,
εὖτ' ἂν εἰς οἴκους μόλωμεν. *κεῖνο δ' ἐκμαθεῖν θέλω,
ὦ φίλοι, ποῦ τὰς Ἀθήνας φασὶν ἱδρῦσθαι χθονός.
Χο. τῆλε πρὸς δυσμαῖς ἄνακτος Ἡλίου φθινασμάτων.
Ατ. ἀλλὰ μὴν ἵμειρ' ἐμὸς παῖς τήνδε θηρᾶσαι πόλιν;
Χο. πᾶσα γὰρ γένοιτ' ἂν Ἑλλὰς βασιλέως ὑπήκοος.
Ατ. ὧδέ τις πάρεστιν αὐτοῖς ἀνδροπλήθεια στρατοῦ;

**202** ψαύσασα Herm. **203** βωμῷ *v.l.* in Φ **207** τρόμῳ Zakas **210** ἐσιδεῖν M: εἰσιδεῖν Hartung **211** ὑμῖν τ' $P^1Q^1$ **218** τὰ δ' ἀγαθὰ δ' M, τἀγαθὰ δ' Φ: τὰ δ' ἀγάθ' Byz. τέκνῳ Heimsoeth; cf. 222 **228** δὲ: δὴ Tr. **229** πάντ' ἐφήσομεν J. T. Sheppard **230** κεῖνα: corr. Dindorf **232** δυσμὰς $P^2Q^2$ **233** exspectares πορθῆσαι **235** fort. post hunc v. exciderunt duo vv. (Robertson)



© Cambridge University Press www.cambridge.org

CAMBRIDGE

Cambridge University Press
978-0-521-11809-5 - The Persae of Aeschylus
Edited by H. D. Broadhead
Excerpt
More information



Χο. καὶ στρατὸς τοιοῦτος, ἔρξας πολλὰ δὴ Μήδους κακά.
Ατ. πότερα γὰρ τοξουλκὸς αἰχμὴ διὰ *χερῶν αὐτοῖς πρέπει; 239
Χο. οὐδαμῶς· ἔγχη σταδαῖα καὶ φεράσπιδες σαγαί. 240
Ατ. καὶ τί πρὸς τούτοισιν ἄλλο; πλοῦτος ἐξαρκὴς δόμοις; 237
Χο. ἀργύρου πηγή τις αὐτοῖς ἐστι, θησαυρὸς χθονός. 238
Ατ. τίς δὲ ποιμάνωρ ἔπεστι κἀπιδεσπόζει στρατῷ;
Χο. οὔτινος δοῦλοι κέκληνται φωτὸς οὐδ' ὑπήκοοι.
Ατ. πῶς ἂν οὖν μένοιεν ἄνδρας πολεμίους ἐπήλυδας;
Χο. ὥστε Δαρείου πολύν τε καὶ καλὸν φθεῖραι στρατόν.
Ατ. δεινά τοι λέγεις *κιόντων τοῖς τεκοῦσι φροντίσαι.
Χο. ἀλλ' ἐμοὶ δοκεῖν τάχ' εἴσῃ πάντα νημερτῆ λόγον.
τοῦδε γὰρ δράμημα φωτὸς Περσικὸν πρέπει μαθεῖν,
καὶ φέρει σαφές τι πρᾶγος ἐσθλὸν ἢ κακὸν κλύειν.

ΑΓΓΕΛΟΣ

ὦ γῆς ἁπάσης Ἀσιάδος πολίσματα,
ὦ Περσὶς αἶα καὶ πολὺς πλούτου λιμήν,
ὡς ἐν μιᾷ πληγῇ κατέφθαρται πολὺς
ὄλβος, τὸ Περσῶν δ' ἄνθος οἴχεται πεσόν.
ὤμοι, κακὸν μὲν πρῶτον ἀγγέλλειν κακά·
ὅμως δ' ἀνάγκη πᾶν ἀναπτύξαι πάθος,
Πέρσαι· στρατὸς γὰρ πᾶς ὄλωλε βαρβάρων.

Χο. *αἴν' αἰνὰ* κακὰ νεόκοτα καὶ [στρ. α'
δάι'. αἰαῖ, διαίνεσθε, Πέρσ-
αι, τόδ' ἄχος κλύοντες.

Αγ. ὡς πάντα γ' ἔστ' ἐκεῖνα διαπεπραγμένα·
καὐτὸς δ' ἀέλπτως νόστιμον βλέπω φάος.

Χο. ἦ μακροβίοτος ὅδε γέ τις αἰ- [ἀντ. α'
ὼν ἐφάνθη γεραιοῖς, ἀκού-
ειν τόδε πῆμ' ἄελπτον.

Αγ. καὶ μὴν παρών γε κοὐ λόγους ἄλλων κλύων,
Πέρσαι, φράσαιμ' ἂν οἷ' ἐπορσύνθη κακά.

**236** ναὶ supra καὶ PKR **237–8** trai. Trendelenburg **237** χερὸς: corr. Elmsley; an κέρως et in 238 οὐδάμ', οἷς? **241** στρατοῦ $QP^2V^2$ **245** ἰόντων: corr. Wecklein **246** δοκεῖ $ΦQ^1$ **250** μέγας Nauck, coll. *Or.* 1077 **253** στέργει γὰρ οὐδεὶς ἄγγελον κακῶν ἐπῶν (*Ant.* 277) alii codd. in margine, alii in textu habent **256** ἄνι' ἄνια: uix sana corr. Pauw **266** τε MA



© Cambridge University Press www.cambridge.org